πῶν ἀπό τε βοῶν, προβάτων αἰγῶν καὶ τῶν λοιπῶν κτη-
νῶν. ἀπὸ χρημάτων ἀπὸ σωμάτων ἀνδρῶν τε καὶ γυ-
ναικῶν. ἐκ τούτων οὖν ὑμεῖς γεννηθέντες ἀνελεύθεροι ἐστέ.
ἐκεῖθεν γεννηθέντες τῶν ἑλλήνων δοῦλοι καθεστήκατε. ταῦ-
τα εἰπὼν ὁ αἴσωπος τὴν ἐκδημίαν ἐγένετο. οἱ δὲ δελφοὶ
λογισάμενοι ὅτι καὶ ἐὰν εἰς ἑτέρας ἀπελθὼν αἴσωπος
πόλεις χείρονα αὐτοὺς κακολογήσας ἐβουλεύσαντο ἀνε-
λεῖν δόλῳ, καὶ ὡς ἱερόσυλον αὐτὸν καταδικάσαι.
παρατηρησάμενοι οὖν τὸν δοῦλον αὐτοῦ πρὸ τῆς πύλης
τῆς πόλεως σκεύη φέροντα, ἐνέκρυψαν εἰς τὰ στρώμα-
τα ἣν ἔλαβον φιάλην χρυσῆν ἐκ τοῦ ἱεροῦ τοῦ ἀπόλλωνος.
ὁ δὲ αἴσωπος ἀγνοῶν τὰ συνεσκευασμένα αὐτῷ,
ὥδευεν εἰς τὴν φωκίδα. οἱ δὲ δελφοὶ ἐπιδραμόντες
ἐκράτησαν αὐτὸν καὶ εἰσήγαγον εἰς τὴν πόλιν, δια-

πορουμένου

http://digital.slub-dresden.de/ppn346259193/109